†Κατ(ὰ) τ(ὸν) ἀπρίλλ(ιον) μῆ(να) τ(ῆς) ἐνεστώσ(ης) ιβ (ἰνδικτιῶνος) τοῦ ςφ (ζ
ἔτ(ους) ἀπεστάλ(ην) κἀγὼ Ἰω(άννης) νοτ(ά)ρ(ιος) ὁ Θεολ[ογί]τ[ης] |186 παρὰ
Εὐσταθ(ίου) στ[ρα]τηγοῦ, (προ)νοητ(οῦ) Σάμ(ου) καὶ ἀν(θρώπ)ου τῆς ἁγ(ίας)
ἡμ(ῶν) δεσποίν(ης), τοῦ Χαρσιανίτ(ου), ἐν [τῇ ν]ήσῳ |187 Λέρῳ, κατ(ὰ) τ(ὴν)
προκομισθεῖσ(αν) αὐτ(ῷ) τι[μ]ίαν καὶ προσκυνητ(ὴν) πρόσταξ(ιν) τ(ῆς) αὐτ(ῆς)
βασιλ(είας), |188 ( ὥσ)τε ποιῆσαι τ(ὸν) διαχωρισμ(ὸν) τοῦ τε προαστείου
Παρθ(ε)ν(ίου) καὶ τ(ῶν) δύο ἀγρ(ῶν), τοῦ τε Πολο|189φούντου καὶ τ(ῶν)
Κουρουν(ῶν), πε(ρὶ) τ(ῆς) ἀνακυψάσ(ης) ἀμφιβολ(ίας) τῆς τούτ(ων) νομ(ῆς), (ὡς)
ὄντ(ων) τ(ῶν) τοιούτ(ων) |190 δ[ύο ἀγ]ρῶν, ἐξ ἀρχ(ῆς) καὶ ἄνωθ(εν) ὑποταγ(ῆς) τοῦ
Παρθ(ε)ν(ίου) καὶ ἐπίκοιν(ον) τὴν νομὴν ἔκπαλαι κεκτημ(ένων). |191 Τ(ῶν)
τοι[ού]τ(ων) (δὲ) δύ[ο] ἀγρ(ῶν) ἀπὸ τοῦ Παρθ(ε)ν(ίου) ἀποσπασθέν(των), ἐζήτουν
καὶ αὖθ(ις) νομ(ὴν) ἐπι|192κοιν(ον) ἔχ(ειν) οἱ τοῦ Πολοφούτ(ου) καὶ τ(ῶν)
Κουρουν(ῶν) πάροικοι· τὸ μέρ(ος) (δὲ) τ(ῶν) (μονα)χ(ῶν) τοῦ τιμιωτ(ά)τ(ου)
κυρ(οῦ) |193 Χρι[στ]οδ(ού)λ(ου), τ(ῶν) καὶ τ(ὴν) δ[εσπ]οτ(είαν) νῦν ἐχό ντ(ων) τοῦ
Παρθ(ε)ν(ίου), δι' εὐσεβοῦς [χρ]υσοβούλλ(ου) τοῦ κραταιοῦ |194 καὶ ἁγ(ίου) ἡμ(ῶν)
βασιλ(έως), οὐ κατετίθεντ(ο) ὅλ(ως) κοινὴν εἶναι τ(ὴν) τοιαύτ(ην) νομ(ήν), τὸ
ἀτάραχ(ον) |195 κἂν τούτῳ καὶ ἀφιλόνεικ(ον) τούτ(ους) ἀσπάζεσθαι καὶ ἴσ(ην) τῷ
Παρθ(ε)ν(ίῳ) νομ(ὴν) ἔχ(ειν) καὶ τ(οὺς) ἀ| 196γρούς τ(ῶν) (μονα)χ(ῶν)
ἐνισταμ(έ)ν(ων), οἳ καὶ ἀπαναγκασθέντ(ες), ὑπεμνήσθ[η] π(αρὰ) τ(ῶν) εἰρημ(ένων)
(μονα)χ(ῶν) ἡ ἁγ(ία) αὐτ(ῆς) βασ(ι)λ(εία), ὥστε ἀναμετρηθ(ῆ)ν(αι) καὶ ἡ τοῦ
Παρθ(ε)ν(ίου) νομὴ καὶ ἡ τ(ῶν) β' ἀγρ(ῶν) καὶ ἐπιμερισθῆ εἰς δύο μερίδ(ας), τ(οῖς)
μ(ὲν) |198 δυσ(ὶν) ἀγροῖς ἀπονεμηθ(ῆ) μία μερίς, τῷ (δὲ) μέρει τοῦ Παρθ(ε)ν(ίου)
ἑτέρα· καὶ ἥπερ εὑ[ρ]εθ(ῆ) [ἀπ]ὸ τ(ῶν) δύο | 199 λοιπάζεσθαι τ(ὴν) ἑτέραν, ἱκανοῦν
ταύτη τὸ ἐλλεῖπ(ον) αὐτ(ῆς) ἡ περιττεύουσα μερίς. Ὅς |200 καὶ καταλα(βὼν) τῇ
(προ)ρρηθ(εί)σ(ῃ) νήσῳ Λέρῳ καὶ συμπαραλα(βὼν) μεθ' ἑαυτ(όν) τ(οὺς)
ἐνυποληπτοτ(έ)ρ(ους) τ(ῶν) |201 παροίκ(ων), τ(οὺς) καὶ κάτωθ(εν) τοῦ ὅλου ὕφ(ους)
ὑπογράψαντ(ας), περιώρισα, παρουσία αὐτ(ῶν) τε | 202 τ(ῶν) δηλωθ(έν)τ(ων)
ἀνδρ(ῶν), ὄντ(ων) καὶ τ(ῶν) (μονα)χ(ῶν) τοῦ (προ)ειρημ(έ)ν(ου) κυ(ροῦ)
Χριστοδ(ού)λ(ου) καὶ τ(ῶν) παροίκ(ων) τ(ῶν) δύο ἀγρ(ῶν), τοῦ τε | 203
Πολοφούντ(ου) καὶ τ(ῶν) Κουρουν(ῶν)· καὶ εὗρ(ον) τὸ μ(ὲν) Παρθ(έ)ν(ιον) γῆν
νομαδιαί(αν) μοδ(ίων) ςν, ὡσαύτ(ως) κ[α]ὶ τ(ῶν) | 204 ἀγρ(ῶν) Πολοφούντ(ου) γῆν
ὁμοί(αν) μοδ(ίων) πεντακισχιλί(ων) ἑξακ(οσίων) δεκαοκτώ, σὺν τούτ(οις) καὶ |205
τ(ῶν) ἀγρῶν τ(ῶν) Κουρουν(ῶν) καὶ αὐτ(ῶν) ὁμοίως γῆν νομαδιαί(αν) μοδ(ίων)
χιλί(ων) τετρακο(σίων) πεντήκοντα ὀκτώ, | 206 σὺν τῇ ἔσωθ(εν) εὑρισκομ(έ)ν(ῃ) ἐπ'
ἀμφοτ(έ)ρ(οις) ἀροσίμ(ῃ) γῇ, ἣν καὶ ἀφορίσ(ας) τὸ μὲν Παρθ(έ)ν(ιον) | 207
ἀποδρασάλευτ(ον) |207α καὶ ἀκαινοτόμητ(ον) ἔχ(ειν) τ(ὴν) ὅλ(ην) αὐτ(οῦ) νομῆν τε καὶ σπόριμ(ον) γῆν τῶν 'ςν' μοδ(ίων), τοῖς δὲ δυσὶν ἀγροῖς ἔχ(ειν) τ(ὴν) ὅλ(ην) αὐτ(οῦ) νομῆν τε καὶ σπόριμ(ον) γῆν τῶν 'ςν' μοδ(ίων), τοῖς δὲ δυσὶν ἀγροῖς ἔχ(ειν) καὶ δεσπόζειν ἐπίσης τ(ὴν) εὑ|207β ρεθησομ(έν)η(ν) ἐν αὐτοῖς νομαδιαίαν καὶ σπόριμ(ον) γῆν τῶν 'ζος' μοδ(ίων), εἰ κ[αὶ π]λείω τοῦ Παρθ(ε)ν(ίου) τυγχάνη. Καὶ ἐπεζήτουν οἱ (μονα)χ(οὶ) τὸ |207γ ἐπιβάλλον αὐτοῖς κατ' ἰσότ(η)τ(α), ἀλλ' οὖν οἰκεία γνώμ(ῃ) καὶ βουλ(ῇ) παρακληθέ(ν)τ(ες) οἱ δηλωθέ(ν)τ(ες) (μονα)χ(οὶ) κατέλειπ(ον) αὐτοῖς τ(ὴν) περιττεύσασαν νομ(ὴν) |207δ τῶν 'αχς' μοδ(ίων), διά τε αὐτὸ τὸ καλ(ὸν) καὶ τοῦ ἠρεμ(εῖν) τοὺς (μονα)χ(οὺς) καὶ νῦν καὶ εἰς τ(ὸ) μετέπιτα. Ὅθεν καὶ ἀμετακινήτ(ως) κατέχ(ειν) καὶ δεσπόζειν |207ε τὸ μὲν Παρθ(έ)ν(ιον) τ(ὴν) ὅλ(ην) αὐτ(οῦ) νομήν, καθὼς ἀνωτ(έ)ρ(ω) εἴρητ(αι), τοῖς δὲ δυσὶν ἀγροῖς ὁμοί(ως) τ(ὴν) ὅλ(ην) αὐτοῦ νομὴν σὺν τ(ῇ) περιττευσάσ(ῃ), μηδεμίαν ὤ| 207ςχλησιν ἐπάγ(ειν) αὐτοῖς οἱ (μονα)χ(οὶ) ἕνεκα τῆς τοιαύτης περισίας τῶν 'αχς' μ[οδίων]· ἀ[λλ]' οὐδὲ οἱ π(άροικ)οι ἔχ(ειν) ἄδειαν ἐπέμβαίν(ειν) ἐπὶ | 207ζ τοῖς τοῦ Παρθ(ε)ν(ίου) δικαίοις διὰ τὸ ἴδια τούτοις [τ]υπωθ(εῖσαν) ἔχ(ειν) τ(ὴν) νομ(ὴν) αὐτῶν καὶ ἴδια τοῖς (μονα)χ(οῖς). Ταῦτα πάν(τα) πρ[ά]ξ(ας) παρουσ(ία) τῶν| 207η δεδηλωμ(έ)ν(ων) ἀνδρῶν τὸ παρὸν πρακτ(ικὸν) ἐξεθέμ(ην), πισ[τω]θ[ὲν] τ(ε) διὰ τῶν οἰ(κείων) ὑπογραφῶν καὶ τῷ μέρει τ(ῶν) (μονα)χ(ῶν) εἰς ἀσφάλ(ειαν) ἐπεδ(ό)θ(η). μ[ηνὶ] καὶ (ἰνδικτιῶνι) σὺν| 207θ ἔτ(ει) τοῖς (προ)γεγραμμ(ένοις)†
Μάλχ(ος), (πρωτο)πρε(σβύ)τ(ε)ρ(ος) τ(ῆς) ἐπισκ(ο)π(ῆς) Λέρ(ου), πάρημ(ι) ἐπὶ τ(ῇ) ἀναμετρίσει καὶ π(αρα)δό(σει) τ(ῆς) νομ(ῆς) τοῦ Παρθ(ε)ν(ίου) καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφο(ς) δηλ(οῖ), καὶ μ(αρτυ)ρ(ῶν) ὑπ(έγραψα)†

|207ι Μιχ(αήλ), ὁ εὐτελ(ὴς) πρε(σβύ)τ(ε)ρ(ος) τῆς αὐτ(ῆς) ἐπισκοπ(ῆς), πάρημ(ι) ἐπὶ τ(ῇ) ἀναμετρίσει καὶ παράδόσ(ει) τ(ῆς) νομ(ῆς) τοῦ Παρθ(ε)ν(ίου) καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφο(ς) δηλοῖ, [καὶ] μ(αρτυ)ρ(ῶν) ὑπ(έγραψα) †
|207ια Νι[κ]όλ(αος), ὁ εὐτελ(ὴς) πρε(σβύ)τ(ε)ρ(ος), παρ' ἤ(μι) ἐπὶ τῇ ἀναμετρίσει καὶ παράδόσ(ει) τ(ῆς) νομ(ῆς) τοῦ Παρθ(ε)ν(ίου) καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφο(ς) δηλοῖ, καὶ μ(αρτυ)ρ(ῶν) ὑπ(έγραψα) †
|207ιβ [Μ]ιχα(ήλ), ὁ εὐτελ(ὴς) ὑποδιά(κονος) τ(ῆς) τοῦ Θ(εο)ῦ μ(ε)γ(ά)λ(ης) ἐκκλη(σίας) καὶ βα(σι)λικὸς κληρ(ικός), πάρημ(ι) ἐπὶ τῇ πα[ρ]αδό(σει) καὶ ἀναμετρίσει τ(ῆς) νομ(ῆς) τοῦ [Π]αρθ(ε)ν(ίου) καὶ τῶν ἀγρῶν, ὡς τὸ ὕφο(ς) δηλ(οῖ), καὶ μ(αρτυ)ρ(ῶν) ὑπ(έγραψα) †
|207ιγ σίγνον Μιχ(αὴλ)
οἰκονόμ(ου) τ(ῆς) ἐπισκ(ο)π(ῆς) Λέρ(ου)

σίγν(ον) Βασιλ(είου)
τοῦ Χαρσιαν(ί)τ(ου)

σίγν(ον) Ἰω(άννου)
πρ(εσβυ)τ(έ)ρ(ου) τοῦ Ζερβοῦ

σίγν(ον) Κω(νσταντίνου)
Πρ. κόπ(η;)

σίγν(ον) Θε(ο)δώρ(ου)
τοῦ Κόμητο(ς)

παρόντ(ες) καὶ ἀμφότ(ε)ρ(οι) ἐπὶ τ(ῇ) δηλωθ(είσῃ) ἀναμετρί(σει) καὶ π(αρ)άδό(σει) τ(ῆς) νομ(ῆς) τοῦ Παρθ(ε)ν(ίου) καὶ τῶν δύο <ἀγρῶν> οἰ(κείαις) χερσὶν ὑπ(έγραψαν) τοῖς τιμ(ίοις) καὶ ζωοποιοῖς στ(αυ)ρ(οῖ)ς †
|207ιδ †Ὁ εὐτελ(ὴς) νοτ(ά)ρ(ιος) Ἰω(άννης) ὁ Θεολογί(της) τὰ ἀνωτ(έ)ρ(ω) πάντ(α) πράξ(ας), κατ(ὰ) πρόσταξιν τ(ο)ῦ ἀν(ω)ειρημ(έ)ν(ου) στρατηγ(οῦ) καὶ αὐθέ(ν)τ(ου) μ(ου), οἰ(κεία) χειρὶ ὑπ(έγραψα) †

**|207ιε † [Γ]εώργ(ιος), ὁ εὐτε(λὴς) ἐπίσκ(ο)π(ος) Σάμου, τὸ παρὸ(ν) εἶσο[ν] μετὰ τοῦ (πρω)τ(ο)τύπ(ου) ἀντιβαλὼν καὶ κ(α)τὰ π(άν)τα ἰσάζων |207ιϛ εὑρὸ(ν) ὑπέγρα(ψ)α †**
**|207ιζ † [Νι]κόλ(αος), ὁ εὐτελ(ὴς) ἐπίσκοπ(ος) [.......τὸ π]αρ(ὸν) ἴσον μετὰ τ(οῦ) [πρω]τ(ο)τύπ(ου) ἀντιβαλ(ὼν) καὶ κ(α)τὰ πάντ(α) ἰσάζον |207ιη εὑρ(ὼν) ὑπέγρα(ψα) †**
**|207ιθ † [.......εὐ]τε(λὴς) ἐπίσκοπ(ος) Κῶ τοῦ η.... κ.. [τὸ παρὸ]ν εἶσον μετὰ τοῦ πρωτ(ο)τύ[πον] ἀντ(ι)βαλ(ὼν) |207κ [καὶ κατὰ] πάντ(α) εἰσάζων εὑρ(ὼν) ὑπ(έγραψα) †**